𝔊 σου τῶν προφητῶν, ἃ ἐλάλησαν ἐπὶ τῷ ὀνόματί σου ἐπὶ τοὺς
βασιλεῖς ἡμῶν καὶ δυνάστας ἡμῶν καὶ πατέρας ἡμῶν καὶ παντὶ
ἔθνει ἐπὶ τῆς γῆς. [7]σοί, κύριε, ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη 7
τοῦ προσώπου κατὰ τὴν ἡμέραν ταύτην, ἀνθρώποις Ιουδα καὶ
καθημένοις ἐν Ιερουσαλημ καὶ παντὶ τῷ λαῷ Ισραηλ τῷ ἔγγιστα
καὶ τῷ ἀπωτέρω ἐν πάσαις ταῖς χώραις, εἰς ἃς διεσκόρπισας αὐ-
τοὺς ἐκεῖ ἐν τῇ πλημμελείᾳ, ᾗ ἐπλημμέλησαν ἐναντίον σου. [8]δέ- 8
σποτα, ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου καὶ τοῖς βασιλεῦσιν ἡμῶν
καὶ δυνάσταις καὶ τοῖς πατράσιν ἡμῶν, ὅτι ἡμάρτομέν σοι. [9]τῷ 9
κυρίῳ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος, ὅτι ἀπέστημεν ἀπὸ σοῦ [10]καὶ οὐκ 10
ἠκούσαμεν τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν κατακολουθῆσαι τῷ
νόμῳ σου, ᾧ ἔδωκας ἐνώπιον Μωσῆ καὶ ἡμῶν διὰ τῶν παίδων
σου τῶν προφητῶν. [11]καὶ πᾶς Ισραηλ ἐγκατέλιπε τὸν νόμον σου 11
καὶ ἀπέστησαν τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου, καὶ ἐπῆλθεν ἐφ᾽
ἡμᾶς ἡ κατάρα καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν τῷ νόμῳ Μωσῆ
παιδὸς τοῦ θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ. [12]καὶ ἔστησεν ἡμῖν τὰ 12
προστάγματα αὐτοῦ, ὅσα ἐλάλησεν ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τοὺς κριτὰς
ἡμῶν, ὅσα ἔκρινας ἡμῖν, ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς κακὰ μεγάλα, οἷα

---

θ′ σου τῶν προφητῶν, οἳ ἐλάλουν ἐν τῷ ὀνόματί σου πρὸς τοὺς
βασιλεῖς ἡμῶν καὶ ἄρχοντας ἡμῶν καὶ πατέρας ἡμῶν καὶ πρὸς
πάντα τὸν λαὸν τῆς γῆς. [7]σοί, κύριε, ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ 7
αἰσχύνη τοῦ προσώπου ὡς ἡ ἡμέρα αὕτη, ἀνδρὶ Ιουδα καὶ τοῖς
ἐνοικοῦσιν ἐν Ιερουσαλημ καὶ παντὶ Ισραηλ τοῖς ἐγγὺς καὶ τοῖς
μακρὰν ἐν πάσῃ τῇ γῇ, οὗ διέσπειρας αὐτοὺς ἐκεῖ ἐν ἀθεσίᾳ αὐ-
τῶν, ᾗ ἠθέτησαν ἐν σοί. [8]κύριε, ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου 8
καὶ τοῖς βασιλεῦσιν ἡμῶν καὶ τοῖς ἄρχουσιν ἡμῶν καὶ τοῖς πατρά-
σιν ἡμῶν, οἵτινες ἡμάρτομέν σοι. [9]τῷ κυρίῳ θεῷ ἡμῶν οἱ οἰκτιρ- 9
μοὶ καὶ οἱ ἱλασμοί, ὅτι ἀπέστημεν [10]καὶ οὐκ εἰσηκούσαμεν τῆς 10
φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν πορεύεσθαι ἐν τοῖς νόμοις αὐτοῦ,
οἷς ἔδωκεν κατὰ πρόσωπον ἡμῶν ἐν χερσὶν τῶν δούλων αὐτοῦ
τῶν προφητῶν. [11]καὶ πᾶς Ισραηλ παρέβησαν τὸν νόμον σου καὶ 11
ἐξέκλιναν τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου, καὶ ἐπῆλθεν ἐφ᾽ ἡμᾶς
ἡ κατάρα καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν νόμῳ Μωυσέως δούλου
τοῦ θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ. [12]καὶ ἔστησεν τοὺς λόγους αὐτοῦ, 12
οὓς ἐλάλησεν ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν, οἳ ἔκρινον ἡμᾶς,

7 ενοικ. εν] κατοικουσιν A | αθεσια] αθετησει A | εν σοι (8) κυριε ημιν] σε κυριε (8) σοι κυριε η δικαιοσυνη και ημιν A pau., (8) εν σοι κυριε εστιν (+ ημων Bc†) η δικαιοσυνη και ημιν B†: cf. 7 init. || 9 fin.] + απο κυριου A || 10 κυριου του] tr. B†: cf. 20 | εν 1º > A || 11 ακουσαι] pr. εισ A: cf. 19